ἀρχὴ τῶν κατὰ ἀφαίρεσιν ἑξάδων:~

Δευτέρα τάξις ἑτέρων λόγων τῶν κατὰ ἀφαίρεσιν:~

ογ΄ ἐὰν ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ δυνάμει μόνον σύμμε-
τρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστι· καλείσθω
δὲ ἀποτομή. ἀπὸ γὰρ ῥητῆς τῆς ΑΒ ῥητὴ ἀφῃ-
ρήσθω ἡ ΒΓ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ·
λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν ἡ καλουμένη ἀ-
ποτομή. ἐπεὶ γὰρ ἀσύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει,
καί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ
πρὸς τὸ ὑπὸ τῶν ΑΒ ΒΓ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ
τῆς ΑΒ τῷ ὑπὸ τῶν ΑΒ ΒΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΒ
σύμμετρά ἐστι τὰ ἐξ ΑΒ ΒΓ τετράγωνα· τῷ δὲ ὑπὸ τῶν ΑΒ ΒΓ σύμμε-
τρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· τὰ ἄρα ἀπὸ τῶν
ΑΒ ΒΓ ἀσύμμετρά ἐστι τῷ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· καὶ λοι-
πῷ ἄρα τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρά ἐστι τὰ ἀπὸ
τῶν ΑΒ ΒΓ, ἐπεὶ καὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ ἴσα ἐστὶ τῷ δὶς
ὑπὸ τῶν ΑΒ ΒΓ
μετὰ τοῦ ἀπὸ ΓΑ.
ῥητὰ δὲ τὰ ἀπὸ
τῶν ΑΒ ΒΓ· ἄλο-
γος ἄρα ἐστὶν ἡ ΑΓ. καλείσθω δὲ ἀποτομή:~



οδ΄ ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμμε-
τρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περι-
έχῃ, ἡ λοιπὴ ἄλογός ἐστι· καλείσθω δὲ μέσης ἀ-
ποτομὴ πρώτη. ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέ-
ση ἀφῃρήσθω ἡ ΒΓ δυνάμει μόνον σύμμετρος
οὖσα τῇ ΑΒ, μετὰ δὲ τῆς ΑΒ ῥητὸν ποιοῦσα τὸ
ὑπὸ τῶν ΑΒ ΒΓ· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός
ἐστι· καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη. ἐπεὶ γὰρ αἱ
ΑΒ ΒΓ μέσαι εἰσίν, μέσα ἐστὶ καὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ. ῥητὸν δὲ
τὸ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· ἀσύμμετρα ἄρα τὰ ἀπὸ τῶν
ΑΒ ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· καὶ λοιπῷ ἄρα τῷ ἀ-
πὸ τῆς ΑΓ ἀσύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ,
ἐπεὶ κἂν τὸ ὅλον ἑνὶ αὐτῶν ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρ-
χῆς μεγέθη ἀσύμμετρα ἔσται· ῥητὸν δὲ τὸ δὶς ὑπὸ
τῶν ΑΒ ΒΓ· ἄλο-
γον ἄρα τὸ ἀ-
πὸ τῆς ΑΓ· ἄ-
λογος ἄρα ἐστὶν
ἡ ΑΓ. καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη:~

οε΄ ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμ-
μετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περι-
έχῃ, ἡ λοιπὴ ἄλογός ἐστι· καλείσθω δὲ μέσης ἀπο-
τομὴ δευτέρα. ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέση ἀφῃ-
ρήσθω ἡ ΓΒ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅ-
λῃ τῇ ΑΒ, μετὰ δὲ τῆς ὅλης τῆς ΑΒ μέσον περιέ-
χουσα τὸ ὑπὸ τῶν ΑΒ ΒΓ· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ
ἄλογός ἐστι· καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.
ἐκκείσθω γὰρ ῥητὴ ἡ ΔΙ, καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΒ
ΒΓ ἴσον παρὰ τὴν ΔΙ παραβεβλήσθω τὸ ΔΕ πλά-
τος ποιοῦν τὴν ΔΗ· τῷ δὲ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ ἴσον
παρὰ τὴν ΔΙ παραβεβλήσθω τὸ ΔΘ πλάτος ποι-
οῦν τὴν ΔΖ· λοιπὸν ἄρα τὸ ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ
τῆς ΑΓ. καὶ ἐπεὶ μέσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ μόνον

BIBLIOTHECA BODLEIANA